2 [2]ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ κατάπαυσις,
ἅγιον, σάββατα, ἀνάπαυσις κυρίῳ· πᾶς ὁ ποιῶν ἔργον ἐν αὐτῇ
3 τελευτάτω. [3]οὐ καύσετε πῦρ ἐν πάσῃ κατοικίᾳ ὑμῶν τῇ ἡμέρᾳ
τῶν σαββάτων· ἐγὼ κύριος.
4 [4]Καὶ εἶπεν Μωυσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ισραηλ λέ-
5 γων Τοῦτο τὸ ῥῆμα, ὃ συνέταξεν κύριος λέγων [5]Λάβετε παρ' ὑμῶν
αὐτῶν ἀφαίρεμα κυρίῳ· πᾶς ὁ καταδεχόμενος τῇ καρδίᾳ οἰσουσιν
6 τὰς ἀπαρχὰς κυρίῳ, χρυσίον, ἀργύριον, χαλκόν, [6]ὑάκινθον, πορ-
φύραν, κόκκινον διπλοῦν διανενησμένον καὶ βύσσον κεκλωσμένην
7 καὶ τρίχας αἰγείας [7]καὶ δέρματα κριῶν ἠρυθροδανωμένα καὶ δέρ-
9 ματα ὑακίνθινα καὶ ξύλα ἄσηπτα [9]καὶ λίθους σαρδίου καὶ λίθους
10 εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα καὶ τὸν ποδήρη. [10]καὶ πᾶς σο-
φὸς τῇ καρδίᾳ ἐν ὑμῖν ἐλθὼν ἐργαζέσθω πάντα, ὅσα συνέταξεν
11 κύριος· [11]τὴν σκηνὴν καὶ τὰ παραρρύματα καὶ τὰ καλύμματα καὶ τὰ
12 διατόνια καὶ τοὺς μοχλοὺς καὶ τοὺς στύλους [12]καὶ τὴν κιβωτὸν
τοῦ μαρτυρίου καὶ τοὺς ἀναφορεῖς αὐτῆς καὶ τὸ ἱλαστήριον αὐ-
12a τῆς καὶ τὸ καταπέτασμα [12a]καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τοὺς
στύλους αὐτῆς καὶ τοὺς λίθους τῆς σμαράγδου καὶ τὸ θυμίαμα
13 καὶ τὸ ἔλαιον τοῦ χρίσματος [13]καὶ τὴν τράπεζαν καὶ πάντα τὰ
14 σκεύη αὐτῆς [14]καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη
16 19 αὐτῆς [16]καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ [19]καὶ τὰς
στολὰς τὰς ἁγίας Ααρων τοῦ ἱερέως καὶ τὰς στολάς, ἐν αἷς λει-
τουργήσουσιν ἐν αὐταῖς, καὶ τοὺς χιτῶνας τοῖς υἱοῖς Ααρων τῆς
ἱερατείας καὶ τὸ ἔλαιον τοῦ χρίσματος καὶ τὸ θυμίαμα τῆς συν-
20 θέσεως. — [20]καὶ ἐξῆλθεν πᾶσα συναγωγὴ υἱῶν Ισραηλ ἀπὸ Μωυ-
21 σῆ [21]καὶ ἤνεγκαν ἕκαστος ὧν ἔφερεν αὐτῶν ἡ καρδία, καὶ ὅσοις
ἔδοξεν τῇ ψυχῇ αὐτῶν, ἤνεγκαν ἀφαίρεμα κυρίῳ εἰς πάντα τὰ
ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ εἰς πάντα τὰ κάτεργα αὐτῆς
22 καὶ εἰς πάσας τὰς στολὰς τοῦ ἁγίου. [22]καὶ ἤνεγκαν οἱ ἄνδρες πα-
ρὰ τῶν γυναικῶν· πᾶς, ᾧ ἔδοξεν τῇ διανοίᾳ, ἤνεγκαν σφραγῖδας
καὶ ἐνώτια καὶ δακτυλίους καὶ ἐμπλόκια καὶ περιδέξια, πᾶν σκεῦος
χρυσοῦν, καὶ πάντες, ὅσοι ἤνεγκαν ἀφαιρέματα χρυσίου κυρίῳ.
23 [23]καὶ παρ' ᾧ εὑρέθη βύσσος καὶ δέρματα ὑακίνθινα καὶ δέρματα
24 κριῶν ἠρυθροδανωμένα, ἤνεγκαν. [24]καὶ πᾶς ὁ ἀφαιρῶν ἀφαίρεμα

2 σαββατον A | κυριω] pr. τω A | εργον/εν αυτη] tr. A || 3 τη] pr. εν A || 6 και $1^0$ > B† || 9 τον] pr. εις A || 10 καρδ.] διανοια A | παντα > A || 11 και $2^0$ ⌒ $3^0$ B* | καλυμματα F] κατακαλ. $B^s$, γλυμματα A† || 12a (cf. 𝔐 17. 15) της $2^0$] pr. τους A | το θυμιαμα] τα -αματα $A^s$ || 14/16] tr. A† || 19 λειτουργουσιν A | αυταις] + εν τω αγιω A || 21 ηνεγκαν $1^0$] ανην. B*† | αυτων/η καρδ.] tr. A | οσοις] οις A | ηνεγκαν $2^0$] pr. αφαιρεμα και B || 22 γυναικων] + αυτων A | αφαιρεματα] -μα A || 23 παρ ω ευρ.] πας ω ευρεθη παρ αυτω υακινθος και πορφυρα και κοκκινον και A | ηρυθρ.] + και δερματα αιγια A† || 24 και $1^0$ > A | αφαιρεμα] pr. το B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/200 UNIVERSITÄT LEIPZIG